ἐκπλεύσεσθαι καὶ ταύτας παλαιὰς ἀντὶ καινῶν παραδώ-
σειν, καὶ τοὺς μὲν κινδύνους ὑμετέρους ἔσεσθαι, τὰς δ'
ὠφελείας τῶν αὐτοῦ φίλων, καὶ ὑμᾶς μὲν διὰ τὰς εἰσ-
φορὰς πενεστέρους ἀποδείξειν, Ἐργοκλέα δὲ καὶ τοὺς
κόλακας τοὺς αὐτοῦ πλουσιωτάτους τῶν πολιτῶν ποιή-
σειν, οὐδένα ἂν ὑμῶν ἐπιτρέψαι τὰς ναῦς ἐκεῖνον ἔχοντα
ἐκπλεῦσαι. ἄλλως τε ἐπειδὴ καὶ τάχιστα ὑμεῖς ἐψηφί- 5
σασθε τὰ χρήματα ἀπογράψαι τὰ ἐκ τῶν πόλεων εἰλημ-
μένα καὶ τοὺς ἄρχοντας τοὺς μετ' ἐκείνου καταπλεῖν
εὐθύνας δώσοντας, Ἐργοκλῆς ἔλεγεν ὡς ἤδη συκοφαν-
τεῖτε καὶ τῶν ἀρχαίων νόμων ἐπιθυμεῖτε, καὶ Θρασυ-
βούλῳ συνεβούλευε Βυζάντιον καταλαβεῖν καὶ τὰς ναῦς
ἔχειν | καὶ τὴν Σεύθου θυγατέρα γαμεῖν· „ἵνα αὐτῶν 6
ἐκκόψῃς“ ἔφη „τὰς συκοφαντίας· ποιήσεις γὰρ αὐτοὺς
οὐκ ἐπιβουλεύοντας σοὶ καθῆσθαι καὶ τοῖς σοῖς φίλοις,
ἀλλὰ περὶ αὐτῶν δεδιέναι.“ οὕτως, ὦ ἄνδρες Ἀθηναῖοι,
ἐπειδὴ τάχιστα ἐνεπέπληντο καὶ ⟨τῶν⟩ ὑμετέρων ἀπέ-
λαυσαν, ἀλλοτρίους τῆς πόλεως αὑτοὺς ἡγήσαντο. ἅμα 7
γὰρ πλουτοῦσι καὶ ὑμᾶς μισοῦσι, καὶ οὐκέτι ὡς ἀρξό-
μενοι παρασκευάζονται ἀλλ' ὡς ὑμῶν ἄρξοντες, καὶ δε-
διότες ὑπὲρ ὧν ὑφῄρηνται ἕτοιμοί εἰσι καὶ χωρία κατα-
λαμβάνειν καὶ ὀλιγαρχίαν καθιστάναι καὶ πάντα πράττειν,
ὅπως ὑμεῖς ἐν τοῖς δεινοτάτοις κινδύνοις καθ' ἑκάστην
ἡμέραν ἔσεσθε· οὕτως γὰρ ἡγοῦνται οὐκέτι τοῖς σφετέ-
ροις αὐτῶν ἁμαρτήμασι τὸν νοῦν ὑμᾶς προσέξειν, ἀλλ'
ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῆς πόλεως ὀρρωδοῦντας ἡσυχίαν
πρὸς τούτους ἕξειν. Θρασύβουλος μὲν οὖν, ὦ ἄνδρες 8
Ἀθηναῖοι, (οὐδὲν γὰρ δεῖ περὶ αὐτοῦ πλείω λέγειν) κα-
λῶς ἐποίησεν οὕτως τελευτήσας τὸν βίον· οὐ γὰρ ἔδει
αὐτὸν οὔτε ζῆν τοιούτοις ἔργοις ἐπιβουλεύοντα, οὔθ'
ὑφ' ὑμῶν ἀποθανεῖν ἤδη τι δοκοῦντα ὑμᾶς ἀγαθὸν πε-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/227 UNIVERSITÄT LEIPZIG